www.tezaurliturgic.ro

†

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΩΝΟΣ ΤΟΥ «ΜΕΤΑΝΟΕΙΤΕ»

(ἑορταζομένου τῇ 26η Νοεμβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* Ἅγιον Ὄρος Ἄθως * 1989 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ




# Τῃ ΚΣΤ΄ ΤΟΥ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΩΝΟΣ ΤΟΥ "ΜΕΤΑΝΟΕΙΤΕ"

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὁ θέλων πάντων ἀνθρώπων, τὴν σωτηρίαν Χριστός, διὰ τῆς μετανοίας, σὲ ἐκάλεσε Νίκων, ὡς στόμα αὐτοῦ θεῖον τὰς ἐντολάς, ἐρευγόμενον ἅπασι, καὶ τῶν ἠθῶν τὴν διόρθωσιν ζωγραφεῖν, εἰς εἰκόνος ἀναστήλωσιν.

Ἐκ τῆς Ἑώας μὲν ἔφυς, Νίκων τρισόλβιε, πολλοὺς δὲ τόπους ὅμως, τῇ προστάξει Κυρίου, διῆλθες ἐκδιδάσκων καὶ πρακτικῶς, ὅτι μένουσαν ἔχομεν, ἐν οὐρανοῖς Βασιλείαν ἧς πολισταί, οἱ μετάνοιαν ζηλώσαντες.

Φῶς τὸ ἀπρόσιτον ἔχων, εἰς κατοικίαν Αὐτοῦ, καὶ τοὺς πιστοὺς φωτίζων, ποιητὴς καὶ Δεσπότης, σὲ Νίκων φιλανθρώπως ὡς δεύτερον φῶς, τοῖς ἐν σκότει ἀπέστειλεν, καὶ συνεργείᾳ θαυμάτων παντοειδῶν, τὸ σὸν κήρυγμα ἐστήριξεν.

Ἡ νῆσος Κρήτη τιμῶσα, τὴν θείαν μνήμην σου, ὀφλητικῶς ὦ Νίκων, τῶν σῶν μέμνηται πόνων, δι᾽ ὧν ἐκ τῆς ἀπάτης Ἄγαρ αὐτήν, πρὸς Χριστὸν πάλιν εἵλκυσας, καὶ τὴν τῶν τέκνων Κυρίου λαμπρὰν στολήν, πάλιν πάτερ ἐναπέδωκας.

Δόξα. Ἦχος β'.

Τῇ θαυμαστῇ σου πορείᾳ τὴν κλῆσιν ἔδειξας ἔργον, Νίκων πανόσιε· τοὺς νοητοὺς γὰρ ἐχθροὺς κατηδάφισας τῇ νικητικῇ σφενδόνῃ τοῦ σταυροῦ, καὶ νίκης στήσας τὰ τρόπαια χαίρεις ἀγαλλόμενος σὺν τῷ Δεσπότῃ Χριστῷ, Ὧι καὶ πρέσβευε πάτερ, νικᾷν ἡμᾶς τοὺς τιμῶντάς σου, τὰς ἐπινοίας τοῦ ἀλάστορος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου.

Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Νίκησον σαῖς εὐχαῖς, τοὺς πολεμοῦντας πάτερ, τὸν σὸν λαὸν καὶ δίδου, ψυχῶν τὴν σωτηρίαν, καὶ χάριν τὴν οὐράνιον.

Στίχ. *Καυχήσονται ὅσιοι ἐν δόξῃ...*
Ἴασαι τῶν ψυχῶν, τὰ πάθη θεῖε Νίκων, διὰ τῆς μετανοίας, βραβεύων τὴν εἰρήνην, ἡμῖν τοῖς εὐφημοῦσί σε.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*
Κύκλῳ τῆς σῆς σεπτῆς, εἰκόνος συνελθόντες, παμμάκαρ σοὶ βοῶμεν, τῆς πλάνης τῶν δαιμόνων, Νίκων ἡμᾶς ἀπάλλαττε.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὤφθη σεπτὴ Τριάς, φωνή σου θεῖος Νίκων, πάντας τῇ μετανοίᾳ, πρὸς τὴν ἐπίγνωσίν σου, ἑλκύων ὁ φιλόψυχος.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Νεύσει σου Ἀγαθή, πρὸς τὸν Δεσπότην δίδου, μετάνοιαν λαῷ σου, καὶ γὰρ σὲ ἱκετεύει, ὁ Νίκων Παναμώμητε.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τῖτόν σε δεύτερον, Κρήτη ἐπλούτησεν, καὶ νέον Πρόδρομον, Νίκων πανόσιε, τῆς μετανοίας μηνυτήν, καὶ κήρυκα θεηγόρον. Ὅθεν εὐγνωμόνως σοι, ἐκ ψυχῆς χαριστήρια, πάντοτε προσφέρουσα, ἱκετεύει κραυγάζουσα· οἰκείωσον τὰ τέκνα μου πάτερ, τῷ Φιλανθρώπῳ ταῖς πρεσβείαις σου.

Θεοτοκίον
Σὲ τὴν μεσιτεύσασαν.

Ἀπόλυσις

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ.Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τῶν Κρητῶν νῆσος σήμερον, εὐγνωμόνως προσάδει σοι, Νίκων παμμακάριστε καὶ γεραίρει σου, τὴν πανσεβάσμιον κοίμησιν, πταισμάτων συγχώρησιν, αἰτουμένη ἐκ Θεοῦ, καὶ γνησίαν μετάνοιαν, ἱκεσίαις σου. Μετανοίας γὰρ ὤφθης κῆρυξ μέγας, ἀγαγὼν εἰς φῶς τὸ θεῖον, τοὺς πλάνην Ἄγαρ πρὶν σέβοντας.

Ὡς παρόντα τὰ μέλλοντα, ὁ ὑπέρχρονος Κύριος, προγινώσκων Νίκων σε ἐξελέξατο, ἀπὸ παιδὸς σκεῦος τίμιον, καὶ σάλπιγγα εὔηχον, προσταγμάτων τῶν Αὐτοῦ, ἀγαγὼν εἰς ἐπίγνωσιν, καὶ προτίμησιν, ἀγωγῆς καὶ ζωῆς τῶν μονοτρόπων, ἐν ᾗ ἔλαμψας παμμάκαρ, ἀσκητικοῖς σου παλαίσμασι.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νικωνύμοις σου κλήσεσι, πολιτείᾳ συνήρμοσται, πάτερ ὁσιώτατε καὶ δεδόξασται, τῇ ἐργασίᾳ σου Κύριος, ὁ θέλων μετάνοιαν, πάντων τῶν ἁμαρτωλῶν, ὁ θαυμάτων τῇ χάριτι, θαυμαστώσας σε, ὥσπερ ἄλλον ἀπόστολον κοσμήσας, καὶ σημείοις παραδόξοις, καὶ τῇ πειθοῖ τῶν ῥημάτων σου.

Ἱερῶς προσενήνοχας, λογικὰ ὥσπερ σφάγια, Νίκων ταῖς γλυκέσι σου παραινέσεσιν, ἐζοφωμένους τυγχάνοντας, τοὺς Κρῆτας τὸ πρότερον, καὶ ὡδήγησας σοφῶς, πρὸς ἀλλοίωσιν κρείττονα, καὶ ἀνέδειξας, υἱοὺς πλάνης υἱοὺς τῆς Βασιλείας, τοῦ φωτὸς καὶ Ἐκκλησίας, τέκνα φωτόμορφα Ὅσιε.

Καθαρῶς ὀπτανόμενος, ὁ Δεσπότης σοι ἅγιε, πάντα ἀπεκάλυπτε τὰ θελήματα, διὸ ὡς δοῦλος ὑπήκουες, καὶ ἔργον τὸ βούλημα, ἀπεδείκνυες εὐθύς,  λογιζόμενος ἴδιον, τοῦ πλησίον σοι, τὸ συμφέρον ψυχῇ τῇ ἀθανάτῳ, ψυχοσῶτερ πάτερ Νίκων, τοῦ Ψυχοσώστου ὁμοίωμα.

Ὡραιώθη τρισόλβιε, ἡ ἐν Κρήτῃ πορεία σου, ὥσπερ θείου γίγαντος διαβήματα· ναῶν γὰρ πλῆθος ἀνήγειρας, Κυρίου εἰς αἴνεσιν, καὶ Ἁγίων τῶν Αὐτοῦ, μεθ᾽ ὧν κάλλιστον τέμενος, Σαμαρείτιδι, Φωτεινῇ ὡς σφραγῖδα ἐπιθήσας, ἀνεχώρησας ἐντεῦθεν, ὅμως τὴν μνήμην σου σέβομεν.

Δόξα. Ἦχος πλ.β'.

Νικητικὰ ᾄσματα λαβόντες σήμερον ἀδελφοί, τὸν τῆς νίκης ἐπώνυμον, Νίκωνα τὸν πανόσιον, εὐφραντικῶς εὐφημήσωμεν. Οὗτος γὰρ τοῦ Εὐαγγελίου τὴν σύνοψιν, τῆς μετανοίας δηλονότι τὴν ἀρετὴν ἔργον ποιησάμενος, καὶ τῇ πατρικῇ εὐλογίᾳ ὑπείκων, νέος Πρόδρομος ὤφθη, καὶ ὁδηγὸς πρὸς σωτηρίαν λαῶν δυσεξαριθμήτων. Δι᾽ οὗ καὶ ἡ μεγαλόνησος αὕτη Κρήτη, ἐπανευαγγελισθεῖσα, τὴν εὐγνώμονα ἀφίησι φωνήν· Κύριε, πρεσβείαις τοῦ σοῦ Ἰσαποστόλου, ἰσόβιον φύλαττε τοῖς τέκνοις σου τὴν μετάνοιαν, καὶ τοῦ φωτὸς τῆς Βασιλείας σου, σὺν τούτῳ πάντας καταξίωσον.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ ὁσιακὰ ἀναγνώσματα
Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα
Ἦχος α'.

Ἱερωτάταις φωναῖς ἡ τῶν Κρητῶν Ἐκκλησία, σὲ πάτερ Νίκων εὐφημεῖ, ἀνθ’ ὧν ὑπὲρ αὐτῆς ἐκοπίασας. Σὺ γὰρ ὡς ἀστὴρ θεοφανὴς πρὸς τὴν χριστογνωσίαν πάλιν τούτους ἐπανήγαγες, ἐκ τοῦ τῆς Ἄγαρ ἐρέβους, ὡς πίνακα ἀκριβεστάτου βίου τὴν σὴν πολιτείαν προθέμενος, καὶ μονόλεκτον σάλπισμα ἔχων τὸ τοῦ Προδρόμου «Μετανοεῖτε». Ὅθεν σήμερον τιμῶντες τὴν μνήμην σου δεόμεθα, μὴ ἐπιλάθου τῶν καρπῶν τῆς γεωργίας σου τρισόλβιε.

Ἦχος β'.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀπὸ παιδὸς ἀγαπήσας τὸν Κύριον Ὅσιε, ἀλλ' ἀνδρικὸν ἔχων τὸ φρόνημα, φίλας διατριβὰς ἐποίεις ἐν ταῖς αὐλαῖς ταῖς πεποθημέναις, καὶ καταγινώσκων τὴν πολλὴν ματαιότητα τοῖς ῥέουσι, γαστρὸς ἐκράτεις καὶ τῶν ὀφθαλμῶν, καὶ κατὰ νοῦν ἔχων, ὅτι οὐδενὶ ἄλλῳ ὡς κακοπαθείᾳ Θεὸς θεραπεύεται, πρὸ τελειώσεως τῆς σφραγῖδος τῆς τελειότητος τὴν πολιτείαν ἐκ καρδίας ἐπορεύου θεοφιλῶς. Διὸ καὶ τοῖς πᾶσιν ἀποταξάμενος Θεῷ ἐκολλήθης ἀκλινῶς, Ὧι πρέσβευε Νίκων μακάριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Ἰδὼν φιλανθρώπως τὴν τῶν πενήτων  ταλαιπωρίαν ὅσιε Νίκων, καὶ τὴν ἀπάτην τοῦ βίου φιλοσοφήσας, πάντα ἀρνησάμενος Χριστῷ γνησίως προσεκολλήθης· καὶ ὡς διψῶσα ἔλαφος τὴν τῆς Χρυσῆς Πέτρας Μονὴν καταλαβών, τοὺς θεμελίους τῆς ἁγιότητος ἐν Χριστῷ, τῇ ἀληθινῇ Πέτρᾳ τῆς ζωῆς οἰκοδομήσας, ηὔξησας τῶν ἀρετῶν σου τὴν ἐργασίαν. Διὸ καὶ ὡς φωτισθέντα δαψιλῶς εἰς φῶς ἐθνῶν σε ἐκάλεσε τὸ Φῶς τὸ ἀληθινόν.

Ἦχος δ'.

Νεάζει ἡ ψυχὴ τῇ μετανοίᾳ ὡς ἀετὸς ψαλμικῶς, καὶ ζῇ γνησίως ἐν Χριστῷ, τῇ οἰκειώσει τοῦ Πνεύματος. Τοῦτο ἐμπράκτως πάτερ Νίκων καταμαθὼν , τῇ πατρικῇ εὐλογίᾳ ἔργον ζωῆς σου μετεποίησας, χρυσᾶς καὶ θεοειδεῖς ψυχὰς ἀπεργαζόμενος, τῆς μετανοίας τῷ κηρύγματι. Ἣν καὶ ἡμῖν τοῖς τιμῶσι τὴν σεπτήν σου μνήμην χάρισαι, ἵνα σε δοξάζωμεν.

Δόξα. Ἦχος πλ.α'.

Ὁ ἀγγελικὸν βίον πολιτευσάμενος, καὶ τοῦ ἐρημοπολίτου Βαπτιστοῦ τὸ κήρυγμα ἐγκολπωθείς, ὁ φωτιστὴς τῆς μεγαλονήσου Κρήτης καὶ ὁδηγὸς εἰς σωτηρίαν, Νίκων ὁ θεοειδέστατος, σήμερον ἐγκωμιαζέσθω λαμπρῶς. Τῇ τῶν πολλῶν γὰρ ἐπιμιξίᾳ τὸ τῆς ψυχῆς κάλλος μὴ


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

λυμηνάμενος, ὡς θυσίαν εὐάρεστον ψυχὰς μυρίας τῷ Κυρίῳ, διὰ τῆς μετανοίας ἀνέθηκε. Καὶ νῦν πρεσβεύει Αὐτῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τὴν ἱερὰν αὐτοῦ μνήμην ἐπιτελούντων πιστῶς.

Καὶ νῦν. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Στῆθι εὐγνωμοσύνῃ πολλῇ, Κρητῶν ἡ νῆσος καὶ ἀπόδος τὸ χρέος σου, τῷ Νίκωνι τῷ ὁσίῳ, τῆς μετανοίας πυρσῷ, οὗτος γὰρ ἐκ πλάνης ἐπανήγαγεν, εἰς φῶς τὸ ἀνέσπερον, τοῦ Χριστοῦ τοὺς προγόνους σου, καὶ ἀληθείᾳ, τὰς ψυχὰς ἐστερέωσε, καὶ κατῄσχυνε, τὸν τοῦ ψεύδους γεννήτορα. Ὅθεν σεπτῶς ἑόρταζε, τὰ τούτου μνημόσυνα, χαρμονικῶς ἐκβοῶσα, Θεὲ Πατέρων μου φύλαττε, εὐχαῖς τοῦ ὁσίου, ἐμὰ τέκνα ἀπὸ πάσης, ἐχθροῦ ἁλώσεως.

Στίχ. *Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις, ὁ τῷ πυρὶ τοῦ Χριστοῦ, βληθεὶς ψυχήν σου Νίκων πάτερ τρισόλβιε, καὶ Τούτῳ ἀκολουθήσας, ἀκτημοσύνῃ πολλῇ, προσευχῇ συντόνῳ, ἀγρυπνίαις τε, ἐμπόνως τὴν ἄσκησιν, ἐκτελῶν καὶ ἐν δάκρυσιν, ἀποκαθαίρων, ὀπτικὸν διανοίας σου, καὶ ὡς κόλασιν, φεύγων ἅπασαν ἄνεσιν, ῥάκη περιβαλλόμενος, ἐν πᾶσι μιμούμενος, τὸν σὸν Δεσπότην θεόφρον, παρ' Οὗ ἐδέξω τὸ πλήρωμα, τῆς Χάριτος ὅπως, ἰσαπόστολος γενήσῃ, ψυχῶν διδάσκαλος.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Χαίροις, τῆς μετανοίας κανών, καὶ θεία σάλπιγξ προσταγμάτων Δεσπότου σου, Σταυροῦ ὃν χερσὶν ἐκράτεις, ὁ μανικὸς ἐραστής, τῆς φιλανθρωπίας, εἰκὼν ἔμψυχος, τῆς Κρήτης ὁ Πρόδρομος, Ἐκκλησίας εὐπρέπεια, τῇ προαιρέσει, μάρτυς ἴσος τοῖς μάρτυσιν, Σαμαρείτιδος, ναοδόμος ἐξαίσιος, στάθμη ἠθῶν ἐξαίρετος, πηγὴ Χάριν βρύουσα,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

οὗπερ ὁ λόγος σου πᾶσιν, ὡς τοῦ Θεοῦ ἐλογίζετο. Χριστὸν ὅθεν Νίκων, ἐκδυσώπει ὑπὲρ πάντων, τῶν ἀνυμνούντων σε.

Δόξα. Ἦχος πλ.δ'.

Χριστὸς Ἰησοῦς, χθὲς καὶ σήμερον, ὁ Αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, ὁ ἐν τοῖς Ἁγίοις Αὐτοῦ ἐνδοξαζόμενος, τοῖς πληρωταῖς τοῦ θείου Εὐαγγελίου. Ἐν οἷς συγκατηρίθμηται ὁ ἐν ὁσίοις Νίκων, τῶν Ἀποστόλων ὁ ὁμότροπος, καὶ τοῦ Βαπτιστοῦ ὁ ἰσάξιος, ὁ ἀπέδιλος καὶ μονοχίτων, ὁ τῇ πανοπλίᾳ τοῦ Ἁγίου Πνεύματος, τὰ τῶν δαιμόνων στίφη ἀπὸ τῶν καρδιῶν τῶν πελανημένων ἀποσκορακίσας, καὶ τοῖς παραδόξοις θαυμασίοις μεγαλύνας τὸν Θεόν. Τοῦτον ἱκετεύσωμεν σήμερον, μετ' εὐλαβείας ἀδελφοί, ἵνα χαρίσηται τῆς μετανοίας τὸ δῶρον, καὶ τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τῖτόν σε δεύτερον, Κρήτη ἐπλούτησεν,
καὶ νέον Πρόδρομον, Νίκων πανόσιε,
τῆς μετανοίας μηνυτήν, καὶ κήρυκα θεηγόρον.
Ὅθεν εὐγνωμόνως σοι, ἐκ ψυχῆς χαριστήρια,
πάντοτε προσφέρουσα, ἱκετεύει κραυγάζουσα·
οἰκείωσον τὰ τέκνα μου πάτερ,
τῷ Φιλανθρώπῳ ταῖς πρεσβείαις σου.

Θεοτοκίον

Σὲ τὴν μεσιτεύσασαν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν Τάφον σου, Σωτήρ.

Ὁ θέλων ἀληθῶς, τὴν μετάνοιαν πάντων, φιλάνθρωπος Θεός, ἐξελέξατο πάτερ, σὲ στόμα πλῆρες Πνεύματος, μετανοίας ἐκφάντορα, ὅθεν εἵλκυσας, ἐκ τῶν ἀβύσσων τῆς πλάνης, πλήθη ἄμετρα, εἰς φῶς τῆς Χάριτος Νίκων, διό σε γεραίρομεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ὡς ἔσωσας Ἁγνή, θεῖον Νίκωνα πάλαι, ἁρπάσασα αὐτόν, ποταμίων ῥευμάτων, κἀμὲ σῶσον τάχιστα, ἐκ πνιγμοῦ αἰωνίζοντος, στερεοῦσά μου, κλυδωνιζόμενον φθόνῳ, πολεμήτορος, τῇ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, δυνάμει Πανάμωμε.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Σιωπῶν φθεγγόμενος, πάντας ἐβούλου, ὑποτάξαι Ὅσιε, τῷ τοῦ Κυρίου σου ζυγῷ, υἱοὺς φωτὸς ἀναδεῖξαί τε, καὶ μετανοίας, κειμήλια ἔμψυχα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Καθ' ἑκάστην Δέσποινα, μετανοῆσαι, τῷ Χριστῷ ὑπόσχομαι, καὶ ἀποστῆναι τῶν κακῶν, ὅμως ὡς ψεύστης εὑρίσκομαι, διὸ αἰτοῦμαι, τὴν σὴν συναντίληψιν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Φῶς τὸ θεῖον ὁρῶντες, τὰ πλήθη Ὅσιε, τὸ κυκλοῦν τὴν σὴν ῥάβδον τὴν σιδηρόσταυρον, ὡς ἰχθύες λογικοὶ τῷ δικτύῳ σου, τῶν γλυκέων διδαχῶν, ὡς ἀγκίστρῳ πρὸς Χριστόν, προσήγοντο θαυμασίως, καὶ λαμπρυνόμενοι πίστει, Αὐτὸν ἐμεγάλυναν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐπεμήκυνας στύλον Θεοχαρίτωτε, τῆς Ἁγίας Τραπέζης εὐχαῖς τοῦ δούλου σου, διὸ κἀμὲ τῶν ἀρετῶν, ὑστεροῦντα δεινῶς, ἐπιμήκυνον Ἁγνή, ἵνα ἀρτίως τῷ Χριστῷ, καὶ χαίρων ἀεὶ δουλεύω, ταῖς μητρικαῖς σου πρεσβείαις, ἐνδυναμούμενος Ἄχραντε.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχος· *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι*

**Εὐαγγέλιον,** τὸ ὁσιακόν, ἐν τῷ Ὄρθρῳ τοῦ ὁσίου Σάββα.

Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.
Στίχ. *Ἐλέησόν με ὁ Θεός....*

Ὅσιε πάτερ Νίκων, μετανοίας ὁδηγὲ καὶ Προδρόμου μιμητά, ταῖς πατρικαῖς σου πρεσβείαις, οἰκείωσον τῷ Φιλανθρώπῳ Χριστῷ, τὰς ψυχὰς τῶν ὑμνούντων τέκνων σου.

**Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:**
*"Νίκη Νίκων δέδοσαι ἐκ Θεοῦ σε τιμῶσι. Ἀ(θανάσιος)".*
Ὠιδὴ α'. Ἦχος α'. Χριστὸς γεννᾶται.

Νοός μου σκότος ἀπέλασον, πρεσβείαις σου σεπταῖς Νίκων ὅσιε, καὶ δίδου μοι τὴν χάριν Πνεύματος, ὅπως σου ἀνυμνήσω χαρμονικῶς, βίον τὸν φωσφόρον, μετανοίας μηνυτά, καὶ κήρυξ μέγιστε.

Ἰδὼν παρόντων τὸ μάταιον, ὡς ἄλλος Ἀβραὰμ ἐπεπόθησας, τυχεῖν οὐρανίου στάσεως, πλοῦτον καὶ δόξαν Πάτερ περιφανῆ, πάντα ἀπηρνήσω, καὶ πτωχείαν τοῦ Χριστοῦ, ὡς κλῆρον εἴληφας,

Καιρίως βέλος σε ἔτρωσεν, ἀγάπης τοῦ Θεοῦ παμμακάριστε, διόπερ οὐδόλως ἔπαυσας, ἔλαφος ὡς διψῶσα ἡ ψαλμική, ἀπαντλῆσαι ὕδωρ, ἐκ τῆς Πέτρας τῆς Χρυσῆς, Νίκων φιλόχριστε.

Θεοτοκίον

Ἡ μόνη πάναγνος Δέσποινα, παρθένων ἡ τρυφὴ καὶ τὸ καύχημα, Νίκων ψυχὴν ἠγάπησεν, σοῦ τὴν καθαρωτάτην, διὸ πολλήν, ἔδειξε τὴν χάριν, διὰ βίου δαψιλῶς, προνοουμένη σου.

Ὠιδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

Νηστείᾳ τὸ σῶμα, καθυπέταξας πάτερ τῷ πνεύματι, καὶ ὡς ἀδάμας ἀγρυπνίᾳ, ὡραΐσθης πανσόφως, νοῶν τὸ τοῦ Παύλου ὅσον φθείρεται, ὁ ἔξω ἄνθρωπος  ἔσω λαμπρῶς, ἄλλος ἀναδείκνυται.

Ἰσχὺν ἐνεδύσω, τὴν τοῦ Πνεύματος Νίκων μακάριε, καὶ ὑπὲρ φύσιν ἤρθης ξένως, δι᾽ ἀσκήσεως πάσης, ἀγγέλων τὸν βίον ἐκμιμούμενος, καὶ πατρικαῖς εὐλογούμενος εὐχαῖς, Χάριτος μετέσχηκας.

Καθάρσει τὸν νοῦν σου, δεκτικὸν ἐπιλάμψεων ἔδειξας, διὸ τὰ πόῤῥω ὡς παρόντα, κατενόησας πάτερ, ὡς μέλλεις γενέσθαι στόμα ἔμπλεων, ἀνακηρύττων μετάνοιαν λαοῖς, Νίκων θεοφώτιστε.

Θεοτοκίον

Ὡράθη σοι ῥῦστις, ἡ Παρθένος πνιγμοῦ σε φυλάξασα, καὶ σιδηροῦν σταυρὸν χερσί σου, ἐμβαλοῦσα ἐδήλου, τὸ ὅπλον τῆς νίκης κατὰ δαίμονος, ὃν βακτηρίᾳ ἐμπείρας αἰσθητῶς, φῶς ἑώρας χάριεν.

Κάθισμα .Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Οὐρανῶν βασιλείας ἐκζητητής, ἐκ παιδὸς πάτερ ἔφυς διὸ δεσμόν, πάντα ἐναπέῤῥιψας, καὶ Χριστῷ ἠκολούθησας, τῇ ἀσκήσει ὄμμα, ψυχῆς φωτιζόμενος, καὶ πυρὶ τῆς θείας, ἀγάπης φλεγόμενος· ὅθεν


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

φιλανθρώπως, κήρυξ γέγονας μέγας, διδάσκων ἀείποτε, τὴν μετάνοιαν ἅπασι, Νίκων δεύτερε Πρόδρομε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, καὶ ἀνακαίνισιν βίου, τοῖς πόθῳ τιμῶσί σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν ψυχὴν καὶ τὸ σῶμα αἰσχρῶς Ἁγνή, κατεμόλυναι πράξεσιν μυσαραῖς, διὸ φρίττω Δέσποινα, τὸ δεινὸν κολαστήριον, ἐν τῇ τοῦ Υἱοῦ σου, ἐλεύσει τὸ δεύτερον, ὅτε ἀποδώσει, ἑκάστῳ ὡς ἔπραξεν· ὅθεν σε μεσῖτιν, ἀγαθὴν ἐξαιτοῦμαι, ἐκπλῦναι τοῖς δάκρυσιν, μετανοίας τὸν σπῖλόν μου, καὶ ὀφθῆναι ἐνώπιον, Κυρίου ἐν χιτῶνι λευκῷ, ἵνα κράζω φωνὴν τὴν εὐγνώμονα· ὢ Παρθένε ὑμνῶ σου, ἀγάπην φιλότεκνον.

Ὠιδὴ δ'.Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Νόμον τοῦ Θεοῦ τηρῶν ἀεί, τῆς Χάριτος μετέσχηκας, καταφρονήσας τοῦ σώματος, ἀργίαν τῶν ἀρετῶν, ἐκ ψυχῆς δὲ μισήσας, εὗρες τῶν καμάτων ἀμητόν, ἀπάθειαν ὁλικήν, Νίκων δυναμούμενος ἄνωθεν.

Δάκρυσι ψυχῆς τὸ ὀπτικόν, ἐλάμπρυνας μακάριε, ὥς τις ὑπόδικος ἔμπροσθεν, ἱστάμενος τοῦ Κριτοῦ, καθ’ ἑκάστην ὥραν, ὅθεν τῶν μελλόντων προορᾶν, τὴν ἔκβασιν εἴληφας, χάρισμα δικαίως τρισόλβιε.

Ἔφθασας Πατέρων παλαιῶν, τὰ μέτρα τῇ ἀσκήσει σου, ἀγρύπνῳ στάσει εὐχόμενος, νηστείᾳ κατακρατῶν, ἡδονῶν ψυχοφθόρων, ἄτυφον τηρήσας σεαυτόν, καὶ μέτριον πρᾷόν τε, δέδειξαι δοχεῖον τῆς Χάριτος.

Θεοτοκίον

Δύναμις μεγίστη ἀγαθή, ὑπάρχει ἡ ἐπίκλησις, τῆς μητρικῆς βοηθείας σου, τοῖς αἴρουσι τὸν σταυρόν, σοῦ Υἱοῦ τοῦ φιλτάτου, ὅθεν καὶ ὁ Νίκων ὁπλισθείς, Ἁγνὴ προστασίαις σου, τῶν ἐχθρῶν κατετρόπωσε φάλαγγας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Οἰκίσκῳ συγκλείσας, μικρὸν σεαυτόν, τῆς μεγάλης ἠξίωσαι Χάριτος, τῶν ἄλλων τὴν ἀμέλειαν θρηνῶν καρδιακῶς, ὅθεν φιλανθρωπίαν, τῆς γνώμης ὁ Δεσπότης, ἰδὼν ἐξελέξατο, μετανοίας σε μηνύτορα.

Συνῆκε σὴν κλῆσιν, πατήρ σου σαφῶς, ὅτι πλήθη ἀγρεύσεις πρὸς Κύριον, διὸ πρὶν διαζεύξεως ὡς σκεύει ἐκλογῆς, Νίκων σε ὑποθήκαις, πατρικαῖς ἐνισχύει, σωφρόνως τὸν βίον σου, ἐν παντὶ τηρῆσαι ἄσπιλον.

Ἀγάπη συνῆλθε, εὐχῇ κραταιᾷ, ἀδελφότης σου Νίκων προπέμπουσα, εἰρήνης σε ὡς ἄγγελον βοῶσα ἐκτενῶς, Κύριε τὸν σὸν δοῦλον, ὁδήγει καθὼς οἶδας, ἐκ νυκτὸς ἐξάξοντα, ψυχὰς εἰς φῶς Βασιλείας σου.

### Θεοτοκίον

Ἱλέωσαι Μῆτερ, Θεὸν σαῖς εὐχαῖς, παριδεῖν τῶν πταισμάτων μου πέλαγος, καὶ βίου τὸ κλυδώνιον, ἀβρόχως διελθεῖν, ὥσπερ ποτε διῆλθεν, τὸν ποταμὸν ὁ Νίκων, καὶ νυκτὸς τὸ ἔρεβος, καταφωτίσαι μου ὡς εὔσπλαγχνος.

## Ὠιδὴ ϛ'. Σπλάγχνων Ἰωνᾶν.

Εἴληφας εὐχάς, τῆς σῆς ἀδελφότητος καὶ θείου πατρός, τὴν καθοδήγησιν, ὥσπερ θώρακα, κατ᾽ ἐθχροῦ δυσμενοῦς καὶ τῆς πλάνης σοφέ, χωρῶν κατὰ κράτος Νίκων ὅσιε, τύπον τοῦ Σταυροῦ ὡς τρόπαιον, ἐν χερσὶ  σιδηροῦν δὲ ἐβάστασας.

Κόσμου τὰ τερπνά, ἀγάπη γονέων τε, ἐμπόδιον σοί, Πάτερ οὐ γέγονε, διὸ ἔτρεχες, ἀποστῆναι σαρκὶ σε γεννήσαντος, καὶ ῥιφεὶς ἐν ποταμῷ διαπεφύλαξαι, χάριτι Ἁγνῆς μακάριε, ἣ ἀβρόχως περάσαι σε ἥρπασεν.

Θαῦμα τὸ ἐν σοί, ὁρῶν τὸ γενόμενον, φωνὴν τῷ Θεῷ, ἦρας εὐγνώμονα, καὶ ἀπέδιλος, μονοχίτων  τελῶν ἐν τοῖς ὄρεσι, τριετίαν ὅλην

παμμακάριστε, ὥσπερ Βαπτιστὴς ἐτέλεσας, μόνην ἔχων βοήθειαν ἄνωθεν.

Θεοτοκίον

Ἔχων σε Σεμνή, ἐν βίῳ ὑπέρμαχον, ἐχθροῦ προσβολαῖς οὐ πτοηθήσομαι, μὴ οὖν Δέσποινα, τῶν πολλῶν κακιῶν μου τὸ πέλαγος, νικήσῃ μητρικὴν ἐπιστασίαν σου, σὺ γὰρ Φιλανθρώπου πέφυκας, Θεομῆτορ Κυρίου γεννήτρια.

Κοντάκιον. Ἦχος πλ.δ'. Τῇ Ὑπερμάχῳ.

Τῆς μετανοίας ἐν Χριστῷ θεῖον ἐκφάντορα,
Εὐαγγελίου φωτιστὴν ὁμολογοῦμέν σε,
οἱ τῆς Κρήτης εὐγνωμόνως παῖδες θεόφρον·
ἐν φωτὶ γὰρ τοὺς ἡμῶν πατέρας εἵλκυσας,
ἀπὸ πλάνης δυσσεβοῦς καὶ καθωδήγησας,
ὅπως ψάλωσι·
Χαῖρε Νίκων τρισόλβιε.

**Ὁ Οἶκος**

Ἄγγελος σαρκοφόρος ἄλλος Πρόδρομος ἔφυς, τῆς θείας μετανοίας ὁ κήρυξ. Ἐκ Χριστοῦ γὰρ λαβὼν τὴν κλῆσιν Νίκων ἔδραμες, εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐπανάγων πλήθη πρὸς Θεὸν βοῶντά σοι ἐν πόθῳ ταῦτα·
Χαῖρε τὸ ἄνθος τῆς Ἀρμενίας,
Χαῖρε ἡ σάλπιγξ τῆς μετανοίας.
Χαῖρε τῆς Χρυσῆς Πέτρας ἐκβλάστημα,
Χαῖρε ἀθεΐας τὸ θεόδραστον ἔκσπασμα.
Χαῖρε ὁ ἐπανάγων τοὺς ἐν σκότει βιοῦντας,
Χαῖρε ὁ φωτίσας τὴν ψυχὴν πολλὰ νοσοῦντας.
Χαῖρε, ὅτι τῆς Ἄγαρ τὴν πλάνην ἀπεσκοράκισας,
Χαῖρε, ὅτι τῆς ὑλομανίας πρακτικῶς ἀπέστησας.
Χαῖρε τῆς Κρήτης ὁ νέος ἀπόστολος,

Χαῖρε θείου Τίτου κατὰ πάντα ὁμότιμος.
Χαῖρε Μεγαλονήσῳ θεῖον ἅλας σκορπίσας,
Χαῖρε δοθεῖσαν Χάριν σοφῶς οἰκονομήσας,
Χαῖρε Νίκων τρισόλβιε.

*Τὸ Συναξάριον*

**Τῇ κστ᾿ τοῦ μηνὸς Νοεμβρίου μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νίκωνος τοῦ «Μετανοεῖτε».**

Στίχοι
*Κρήτην, φωτιστὰ Νίκων Μετανοεῖτε,*
*Ἐπανευαγγέλισαι· σὸς γὰρ ὑπάρχει κλῆρος.*

*Κρήταις βοήσας πάλαι «Μετανοεῖτε»,*
*Νῦν πάλιν κράζει τοῦτο, Νίκων, καὶ «Γρηγορεῖτε».*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ᾿. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὀλέσας, τῶν δαιμόνων τὰς στρατείας, συνεχεῖ ἀσκήσει τε καὶ ἡσυχίᾳ σου, ὡς παίδων ἀθύρματα ἀπέδειξας, φαντασίας τὰς σαθράς, καὶ τὰ φρυάγματα, ἐπικλήσει, τοῦ Ὀνόματος Κυρίου.

Ὑψόθεν, Νίκων ἤκουσας Κυρίου, τὴν φωνήν σοι λέγουσαν, ὡς τῷ Ἰώβ ποτε· μὴ οἴου με ἄλλως κεχρηματικέναι, ἀλλ' ἵνα δίκαιος φανῇς τῇ καρτερίᾳ σου, καὶ ἀπολαύσῃς, ὑπομονῆς τὸ στέφος.

Σοφίᾳ, πρὸς τοὺς ἔξω ἀνεστράφης, ἁλιεὺς φιλόψυχος Πάτερ μακάριε, διδάσκων ἃ Θεός σοι ἀπεκάλυπτε, Βασιλείας οὐρανῶν, ἐμπνέων ἔρωτα, ἣν ἔνδον εἶχες, καρδίᾳ καθαρᾷ σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον

Ἐφθάρη, τὸ ἀρχαῖόν μου Παρθένε, κάλλος καὶ πρωτόκτιστον τῇ ἀμελείᾳ, Χριστῷ νῦν ἐλθεῖν οὐκ ἔχω ἔνδυμα, διὸ κάθαρον Ἁγνὴ ψυχήν τε τὴν μέλαιναν, ἵνα ὑμνῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠιδὴ η'. Θαύματος ὑπερφυοῦς.

Τρόπῳ θαυμαστῷ Θεὸς καλεῖ σε, ἐπὶ τὴν Κρήτην μεταβῆναι, ἔνθα ἡ τῆς Ἄγαρ πλάνη, ἐπεδήμει ὥσπερ τις λύμη, κηρῦξαι τὴν μετάνοιαν πᾶσι, διὸ ὡς ὁ Πρόδρομος ἐβόησας, εὐλογεῖτε Κρῆτες αὖθις τὸν Κύριον, καὶ μετανοεῖτε, ἐξ ὅλης τῆς καρδίας.

Ἴδον φῶς Χριστοῦ ἐσκοτισμένοι, τῷ σῷ κηρύγματι πεισθέντες, ἀλλ' οἱ μὴ δεξάμενοι ἐπιστρέψαι, ἀπολέσαι σε ἠβουλήθησαν, μὴ θέλοντες τῆς πλάνης φυγεῖν, διὸ σὺ τρόπον Πάτερ ἤλαξας, ὡς σοφὸς ἁλιεὺς θηρᾷν ἐπιστάμενος, τὰς ψυχὰς ἀνθρώπων, εἰς δόξαν τοῦ Κυρίου.

Μέγα διεφήμισαν οἱ Κρῆτες, πολιτείαν σου τὴν ὑπὲρ φύσιν, ἴσα τῷ Θεῷ προσέχοντές σοι, καὶ ὡς νόμος ἦν πᾶν σου λεγόμενον, καὶ πῦρ ὑποδαυλῖζον ἀρετήν, ἐξ οὗ φιλοθέως κατεῤῥύθμισας, Ἐκκλησίας εὐταξίαν πᾶσαν Ὅσιε, καὶ ναοὺς Κυρίῳ, ἀνήγειρας σὺν πόθῳ.

Θεοτοκίον

Ὤφθη τοῖς ἀνθρώποις σὰρξ ὁ ἄσαρκος, ἐκλεξάμενός σε ὡς μητέρα, οὐ γὰρ οὓς ἐζώωσε θέλει βλέπειν, καταμένην ἄνευ θεότητος, διὸ οἰκονομίᾳ φρικτῇ, καὶ ὢν οὐρανῷ καὶ γὴν κατῴκησε, οὐρανώσας γῆν δι' ἐνανθρωπήσεως, Ὃν ὑπερυψοῦμεν, σὺν σοὶ ἁγνὴ Παρθένε.

Ὠιδὴ θ'. Μυστήριον ξένον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σοὶ ὤφθη καθ' ὕπνους, ἡ μάρτυς ἡ ἔνδοξος, Φωτεινὴ προστάττουσα, οἶκον, αὐτῆς ἐγεῖραι εἰς δόξαν, φωτὶ δὲ ἀπλέτῳ, ὁ τόπος ηὐγάσθη ἐν ᾧ ἔμεινας, κινῶν τοὺς ἐγγύς, εἰς συνεργίαν τελειώσεως.

Ἰθύνας τὸν πλοῦν σου, κελεύσει τῆς Χάριτος, πρὸς Ἀθήνας ὅσιε, ἅλας, τὸ κομιζόμενον γέρας, ἐφάνη ναυκλήροις, τῆς δόξης δι' ἧς κεχαρίτωσαι, καὶ Κρήτην σοφῶς, τῷ θείῳ ἅλατι ἐνήλισας.
Ναός σου ὦ Πάτερ, εὐγνώμων ἀντίδοσις, οὗτος ἀνεγήγερται, ὅνπερ, τῇ χάριτί σου φυλάττοις, αἰώνων εἰς τέλος, καὶ πᾶσι τὴν λύσιν χαριζόμενος, εὐχαῖς πατρικαῖς, Νίκων τῆς Κρήτης ἄλλος Πρόδρομος.

Θεοτοκίον

Ἀγάθυνον Κόρη, καὶ πρόσχές μοι δέομαι, αἰτουμένῳ ἄφεσιν, πάντων, ἅπερ ἡμάρτηκα ἔργων, Υἱῷ σου τῷ θείῳ, ἀγάγουσα διὰ μετανοίας με, συμπρέσβυν Σεμνή, Νίκωνα ἔχουσα τὸν μέγιστον.

Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῆς μετανοίας κήρυκα, τῆς Θεῷ οἰκειούσης, λόγοις καὶ ἔργοις ἔχοντες, σοὶ προσπίπτομεν Νίκων, ὁμότροπε τοῦ Προδρόμου, καὶ φωστὴρ νήσου Κρήτης, ῥῦσαι τῆς πλάνης ἅπαντας, τοὺς ᾠδαῖς σε καὶ ὕμνοις χρεωστικῶς, εὐφημοῦντας θείαν σου μνήμην πόθῳ, καταξιῶν πρεσβείαις σου, οὐρανῶν Βασιλείας.

Θεοτοκίον, ὅμοιον.

Τίς προσφυγὼν τῇ σκέπῃ σου, καὶ κενὸς ἀνεστράφηκ τίς σε μεσῖτιν κέχρηται, καὶ ἀπέτυχε Κόρηκ τίς ὁδηγόν σε καλέσας, καὶ ζωὴν οὐκ ἐφεῦρεκ τίς Βασιλείας οὐρανῶν, ἀστοχήσει πρεσβείας τὰς μητρικάς, Δέσποινα προβάλλων πίστει καὶ πόθῳκ διὸ κἀγὼ προσπίπτω σοι, ὅσα θέλεις μοι ποίει.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Ὅσιε Νίκων τὴν μνήμην σου, ἐπιτελοῦντες φαιδρῶς, τὸν δοξάζοντα Κύριον, τοὺς Αὐτὸν δοξάζοντας, ἐκ καρδίας εὐγνώμονος, δοξολογοῦμεν ὅτι φωστῆρά σε, ἐν νήσῳ Κρήτης, τὰ δικαιώματα, Τούτου κηρύξαντα, ἔθετο ὑψώματα σκότους δεινοῦ, καθελόντα τέλειον, καὶ ὁμαλίσαντα.

Βίον σοφῶς ματαιότητος, ἀπὸ παιδὸς ἐκμαθών, ἐκολλήθης μακάριε, τοῦ Κυρίου ὄπισθεν, ἐκλεξάμενος ἕπεσθαι, διὸ ἐν Πέτρᾳ Χρυσῇ τοὺς πόδας σου, ἔστησας Νίκων, ἄσκησιν ἅπασαν, ἔχων ὡς ἔργον, ψυχοσωτήριον, ὅθεν ηὐγάσθη σου, ὀπτικὸν τρισόλβιε τὸ τῆς ψυχῆς, καὶ μεθέξει δεύτερον, φῶς Πάτερ γέγονας.

Ὁ Θέλων σῴζεσθαι ἅπαντας, ἀνθρώπους Νίκων Θεός, μετανοίας σε κήρυκα, θαυμαστῶς ἀνέδειξε, Βασιλείας μηνύτορα, τὴν παρουσίαν τε καὶ ἐγγύτητα, καὶ τὴν ἐκ σκότους, εἰς φῶς μετάθεσιν, ἔνθα ἀγάλλονται, τῶν Ἁγίων σύλλογοι οἱ ἀπ' ἀρχῆς, φύσιν θαυμαστώσαντες, Πνεύματος χάριτι.

Φιλανθρωπίας ἐκκαύματι, τόπους διῆλθες πολλούς, τοῦ Θεοῦ συνεργοῦντός σοι, Νίκων παμμακάριστε, τοῖς σημείοις καὶ τέρασι, διὸ εὐκάρπως Αὐτῷ κατήντησας, ἰδοὺ κραυγάζων, σὺν οὖς μοι δέδωκας· ὅθεν τρισόλβιε, μέμνησο δεόμεθα σῶν ἱκετῶν, τῶν ἐκ πόθου σήμερον, ἀνευφημούντων σε

Δόξα. Ἦχος ὁ αὐτός.

Τὸν ὑπερθαύμαστον βίον σου, Νίκων ὁρῶντες ἐκπληττόμεθα, πῶς ἐν σώματι ἀσθενεῖ, πολιτείαν οὐράνιον ἐπολιτεύσω. Καὶ τῇ φιλαδελφίᾳ καθ' ὥραν βαλλόμενος, πάντα τὸν κόσμον εἰ ἦν δυνατόν, διὰ τῆς ψυχοσωτηρίου μετανοίας, υἱοὺς φωτὸς καὶ ἡμέρας ἐργάτας ἤθελες ἀποδεῖξαι. Διὸ Χριστός σε ἠγάπησεν ὡς στόμα Αὐτοῦ, καὶ ὡς

Πρόδρομον δεύτερον. Οἱ δὲ τῆς νήσου Κρήτης παῖδες, συνελθόντες σήμερον ἐν τῷ πανσέπτῳ σου ναῷ, ἀνθ' ὧν τοῖς πατράσιν ἡμῶν ἐκοπίασας, εὐγνωμονοῦμεν καὶ δουλικῶς δεόμεθα. Πρέσβευε τῷ Λυτρωτῇ τῶν ψυχῶν, διὰ μετανοίας τὸν ἐσπιλωμένον χιτῶνα ἡμῶν λευκάναι, καὶ ἀξιῶσαι ἅπαντας, τῆς οὐρανίου ἀγαλλιάσεως.

ἕτερον, ὁμόηχον.

Ἄνθρωπε τοῦ Θεοῦ οὐρανοέραστε, Πρόδρομε νήσου Κρήτης, Νίκων πανόσιε, τῆς ἀρετῆς στύλε ἔμψυχε, τοὺς τὸν σεπτόν σου ναὸν κυκλοῦντας εὐσεβῶς, διὰ μετανοίας ἀληθοῦς, τῷ Θεῷ οἰκείωσον. Καὶ γὰρ οἶδας δαψιλῶς ἐκχέειν τὸ ἀγαθὸν ἐπὶ πᾶσι, κατὰ μίμησιν ἀκριβῆ, τῆς πρώτης θεαρχίας. Ὅθεν σε ὡς εὔοσμον θυμίαμα ἀγαπῶντες, ὑπὲρ ἡμῶν τῇ Τριάδι μεσίτην ἀναφέρομεν. Ἄφεσιν ἁμαρτιῶν αἰτούμενοι, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον τὰ ὁσιακά.

Κοινωνικόν, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. Ἀλληλούϊα.

*Μεγαλυνάριον*

Σὺν τῷ θείῳ Τίτῳ πάτερ κλεινέ, Νίκων μὴ ἐλλίπῃς, ἱκετεύειν ὑπὲρ ἡμῶν, μνήμην σου τιμώντων, ἐν τῷ τεμένει τούτῳ, καὶ κατασπαζομένων, θείαν εἰκόνα σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Στίχοι

*Κἀμοὶ καὶ πᾶσι χάρισμα μετανοίας,*
*Δός, πάτερ Νίκων, τοῖς θερμῶς σε αἰτοῦσι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ